πρὸς Πειcίcτρατον τὸν τύραννον, ἡνίκα cυνεcτήcαμεν ἐν Παλλήνῃ τὴν μάχην. ἢ Βαλλήνη, κατὰ cυγγένειαν τοῦ β πρὸc τὸ π, παρὰ τὸ βάλλειν λίθοιc. θέλει γὰρ εἰπεῖν, ὅτι δεῖ ζητεῖν τὸν ἐχθρὸν καὶ λιθολευcτεῖν αὐτόν.

Ar. 81 Παλίγκοτοc: ὀργίλοc, cτυγνόc, φοβερόc, ἐναντίοc. Ἀριcτοφάνηc· μὴ γένῃ παλίγκοτοc ἀντιβολοῦcιν ἡμῖν, ἤγουν μὴ ἐξ ὑποcτροφῆc ὀργιcθῇc καὶ πάλιν μετανοήcῃc, ἐφ' οἷc ἡμᾶc εὐεργετεῖν διέγνωc.
Anth. καὶ ἐν Ἐπιγράμμαcι· Κύπριc γὰρ τὰ μὲν ἄλλα παλίγκοτοc· ἓν δέ τι καλὸν ἔλλαχεν, ἐχθαίρειν τὰc cοβαρευομέναc.

Δ 82 Παλίγκυρτοc: ἁλιευτικὸν ἀγγεῖον. Πολύβιοc· τῶν γὰρ πο-
E λεμίων αὐτομάτωc καθάπερ ἐc παλίγκυρτον αὐτοὺc καθεικότων, δυνάμενοc κρατῆcαι τῶν ἐχθρῶν τούτουc παρέλιπε.

Σ 83 Παλίλλογα: παλιcύλλεκτα.

Σ 84 Παλιλλογία: ταυτολογία.

ΣΔ 85 Παλιμβαλήc: ὁ ἀνάταυρα πεcών. ὁ ὕπτιοc.

Σ 86 Παλίμβιοc: ὡc ἐξ ἀναβιώcεωc.

Σ 87 Παλιμβολία: ἡ εὐμετάβλητοc γνώμη. Ἀγαθίαc· τῶν δὲ cτρα-
E τηγῶν πολλὴ μὲν ὑπῆρχε παράταξιc, πολλαὶ δὲ φρουραὶ καὶ ἀγρυπνίαι καὶ ἀνὰ τὰ πλήθη περινοcτήcειc, ἐλπὶc καὶ δέοc καὶ παλιμβολία.

x+EL 88 Παλίμβολον: ἀβέβαιον, ἄπιcτον. τὸ γὰρ Cκυθικὸν εἶναι παλίμβολον.

Σ 89 Παλίμβολοc: ἀδόκιμοc, εὐμετάβολοc, ἀνελεύθεροc. Κλήμηc. δύναται καὶ ἀντὶ τοῦ παλίμβολοc ἐναντιόβολοc, ἐναντιογνώμων, ὡc καὶ παλίνδηc ὄνομα.

Σ 90 Παλιμπετήc: ὀπιcθόρμητοc.

Σ 91 Παλίμφημα: δύcφημα, κακά, ἐναντία.

Σ 92 Παλινάγγελοc: ὀπίcω ἐπανελθὼν ἄγγελοc.